# ELEMENTARBUCH DER GREICHISCHEN SPRACHE

## von Friedrich Jacobs

Transcribed & Edited by

**FERGUS WALSH**

**Internet Archive**

**2019**

**Transcribed from:**
Friedrich Jacobs, *Elementarbuch Der Greichischen Sprache*, Erster Theil, Freidrich Frommann, Jena, 1817 accessed at *books.google.co.uk/books?id=qHQZAAAAYAAJ*

**Published at:**
***www.archive.org/Jacobs-1-10***

**Typeset in:**
**Bodoni MT/Bodoni MT Black**
**Gentium Plus (*www.software.sil.org/gentium*)**
Orthos (*www.users.dircon.co.uk/~hancock/index.htm*)

**Released under**:
Creative Commons Attribution-Share Alike 4.0 International License.
***The licensor permits others to create and distribute derivative works, but only under the same or a compatible license. The licensor permits others to copy, distribute, display, and perform the work, including for commercial purposes.***

## X. Zeitwörter in μι.

### a. Activum [39-42]

1. Ζεὺς πάντα τίθησιν, ὅπη θέλει. — Τί τὸν νεκρὸν ὁ κωκυτὸς ὀνίνησι; — Λέοντα νοσοῦντα οὐδὲν ἄλλο ὀνίνησι φάρμακον, εἰ μή βρωθεὶς πίθηκος. — Χίλων ἐρωτηθεὶς, «τί χαλεπώτατον;» «Τὸ γιγνώσκειν ἑαυτὸν,» ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑαυτῷ προστιθέναι μάτην. — Σόλων τοῖς ἐν Πρυτανείῳ σιτουμένοις μάζαν παρέχειν κελεύει, ἄρτον δὲ ταῖς ἑορταῖς προσπαρατιθέναι.

2. Τοῦτον τὸν νόμον ὁ θεὸς τέθεικεν· εἴ τι ἀγαθὸν θέλεις, παρὰ σεαυτοῦ λαβέ. — Οἱ παλαιοὶ τοῖς ἀποθανοῦσιν ὀβολὸν εἰς τὸ στόμα κατέθηκαν. — Ῥᾴδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ ἐκ κακοῦ ἐσθλόν. — Ἀθηνᾶ ἐν μέσῃ τῇ ἀσπίδι τὴν τῆς Γοργόνος κεφαλὴν ἀνέθηκεν. — Νόμος ἐστὶ Θηβαϊκός, ὅτι οὐκ ἔξεστιν ἀνδρὶ Θηβαίῳ ἐκθεῖναι παιδίον. — Φασὶ τοὺς Φοίνικας οὐκ ἐξ ἀρχῆς εὑρεῖν τὰ γράμματα, ἀλλὰ τοὺς τύπους μεταθεῖναι μόνον. — Ἀντίγονος, ὁ βασιλεὺς, Διόνυσον πάντα ἐμιμεῖτο, κισσὸν περιτιθεὶς τῇ κεφαλῇ ἀντὶ διαδήματος καὶ θύρσον ἀντὶ σκήπτρου φέρων. — Λυκοῦργον, τόν θέντα Λακεδαιμονίοις νόμους, μάλιστα θαυμάζω καὶ σοφώτατον εἶναι ἡγοῦμαι.

3. Εἰ ἀηδῶν ἤμην, ἐποίουν ἂν τὰ τῆς ἀηδόνος· εἰ κύκνος, τὰ τοῦ κύκνου· νῦν δὲ λογικός εἶμι, ὑμνεῖν με δεῖ τὸν θεόν· τοῦτό μου τὸ ἔργον ἐστίν. — Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς. — Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής. — Οἱ Λουσιτανοὶ παιᾶνας ᾄδουσιν, ὅταν ἐν μάχῃ ἐπίωσι τοῖς ἆντιτεταγμένοις. — Εὔκολον ἔφασκεν ὁ Βίων τὴν εἰς Ἅιδου ὁδόν· καταμύοντας γὰρ αὐτὴν ἰέναι. — Μαρίου μὲν τὸν πατέρα οὔκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα.

4. Ὁ Τάνταλος ἐν τῇ λίμνῃ αὖος ἕστηκεν. — Τριπτολέμῳ μὲν ἱερᾶ καὶ βωμοὺς ἀνέστησαν, ὅτι τὰς ἡμέρους τροφὰς ἡμῖν ἔδωκεν· τῷ δὲ τὴν ἀλήθειαν εὑρόντι τίς ὑμῶν βωμὸν ἱδρύσατο; — Ἀριστῶντι Διογένει ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον· «Κύον, κυον!» Ὁ δὲ, «Ὑμεῖς,» εἶπεν, «ἐστὲ κύνες, οἵ με ἀριοτῶντα περιεστήκατε.» — Οὐδὲ τὸν ἀέρα οἱ ἄνθρωποι τοῖς ὄρνισιν εἴων ἐλεύθερον, παγίδας καὶ νεφέλας ἱστάντες. — Τὸν Κρόνον λέγουσι τοὺς καθ’ ἑαυτὸν ἀνθρῶπους ἐξ ἀγρίας διαίτης εἰς βίον ἥμερον μεταστῆσαι.

5. Οὐδὲν τῶν μὴ καλῶν δίδωσι θεός· ἄλλ’ ἐστὶ ταῦτα δωρεᾶ τύχης ἀλόγου. — Ἁπλῆν Ὅμηρος θεοῖς δίαιταν ἀποδίδωσιν. — Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν. — Τένθης τις δακτυλήθρας

ἔχων ἤσθιε τό ὄψον, ἵν' ὡς θερμότατον ἀναδιδοίη τῇ γλώττῃ. — Ἡ φύσις τὰ δάκρυα ἔδωκεν ἡμῖν παραμυθίαν ἐν ταῖς τύχαις. — Προμηθεὺς, Ἰαπέτου υἱὸς, τὸ πῦρ τοῖς ἀνθρώποις ἔδωκεν. — Οἱ Φοίνικες τοῖς Ἕλλησι τὰ γράμματα παραδεδώκασιν. — Φασῖν Εὐριπὶδην Σωκράτη, ἀποδόντα τι Ἡρακλείτου σύγγραμμα, ἔρεσθαι, «Τί δοκεῖ;» Τὸν δὲ φάναι, «Ἅ μὲν συνῆκα, γενναῖα, οἶμαι δὲ καὶ ἅ μὴ συνῆκα.»

6. Ὁ οἶνος μέτριος μὲν ληφθεὶς ῥώννυσι, πλείων δὲ παρίησιν. — Ἡ πλαστική δείκνυσι τὰ εἴδη τῶν θεῶν, τῶν ἀνθρῶπων, καὶ ἐνίοτε καὶ τῶν θηρῶν. — Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ. — Οὐδὲν θαλάσσης ἀπιστότερον· πλοῦτον γὰρ διδοῦσα, αὐτὸν πάλιν ἀφαιρεῖται, καὶ μετ' αὐτοῦ ἀφαιρεῖται τὰς ψυχάς · καὶ τις ἀναχθεὶς μετὰ πολλῶν χρημάτων, ἢ συγκατέδυ τοῖς χρήμασιν ἢ ἀπεσώθη γυμνός. — Ἡ σαλαμιίνδρα, ὥς φασι, διᾶ τοῦ πυρὸς βαδίζουσα κατασβέννυσι τὸ πῦρ.

**b. Medium [42-43]**

1. Ὅτε εἶλε τὴν Θηβαίων πόλιν Ἀλέξανδρος, ἀπὲδοτο τοὺς ἐλευθέρους πάντας. — Ἡρακλεῖ ἡ ἀρετὴ τὴν προσηγορίαν ἔθετο· Ἡρακλῆς γὰρ προσηγορεύθη, ὅτι δι' Ἥραν κλέος ἔσχειν. — Ὁ νόμος λέγει· Ὅ μὴ κατέθου, μὴ λάμβανε. — Ξενοφῶντι θύοντι, ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐοῦ τὸν Γρῦλλον τεθνάναι· κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων· ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπὲθιτο τὸν στέφανον. — Ἡρακλῆς χειρωσάμενος τὸν λέοντα, τὴν μὲν δορὰν ἠμφιέσατο, τῷ χάσματι δὲ ἐχρήσατο κόρυθι. — Οἱ Ἀθηναῖοι τὸν Πειραῖα ἐμπόριον ἐν μέσᾳ τῆς Ἑλλάδος κατεστήσαντο.— Καιόν οὖδὶν φύεται ἐν ἀνδρὶ, θεμέλια θιμὸνφ τοῦ βίον σωφροσύνην καὶ ἐγκράτειαν.

2. Ἀρετὴ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται. — Ἐν Τήνῳ κρήνη ἐστὶν, ἧς τῷ ὕδατι οἶνος οὐ μίγνυται. — Ὅσον ἐν πολέμῳ σίδηρος δύναται, τοσοῦτον ἐν πολιτείαις ἰσχύει λόγος. — Οὔκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. — Οἱ Ἀθηναῖοι ἐψηφίσαντο, Αἰγινητῶν ἑκάστῳ τὸν μέγαν ἀποκόψαι τῆς χειρὸς δάκτυλον τῆς δεξιᾶς, ἵνα δόρυ μὲν βαστάζειν μὴ δύνωνται, κώπην δὲ ἐλαύνειν δύνωνται. — Μέγα κακὸν τὸ μὴ δύνασθαι φέρειν κακόν. — Σχολαστικὸς οἰκίαν πριάμενος, τῆς θυρίδος προκύψας, ἠρώτα τοὺς παριόντας, εἰ πρέπει αὐτῷ ἡ οἰκία. — Τά Τέμπη χωφός ἐστι κείμενος μεταξὺ τοῦ Ὀλύμπου καὶ τῆς Ὄσσης.

**c. Passive [43-44]**

1. Ἑωράκαμεν ἀνθρώπους οἳ καὶ κυνῶν θανάτῳ καὶ ἵππων αἰσχρῶς ὑπὸ λύπης διετέθησαν. — Δάφνιν τὸν βούκολον λέγουσι τεχθέντα ἐκτεθῆναι ἐν δάφνῃ, ὅθεν καὶ τὸ ὄνομα ἔλαβεν. — Οἱ

ἑστιῶντες τὸν Ἀλέξανδρον τὸν Φιλίππου τῶν φίλων, τὸ μέλλον παρατεθήσεσθαι τῶν τραγημάτων περιεχρύσουν. — Τοῦ Καράνου ἐν Μακεδονίᾳ γάμους ἑστιῶντος, τοῖς συγκεκλημὲνοις εὐθέως ἐδόθησαν φιάλαι ἀργυραῖ, ἑκαστῷ μία, δωρεά. — Ἡρακλῆς τὸν Ἐρυμάνθιον κάπρον διώξας μετὰ κραυγῆς εἰς χιόνα πολλὴν, παρειμένον ἐνεβρόχισεν.

2. Πλάτων πρός Ἀρίστιππον εἶπε· «Σοὶ μόνῳ δέδοται καὶ χλαμύδα εὖ φορεῖν καὶ ῥάκος.» — Πυθαγόρας ἔλεγε δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις διδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν. — Ταῖς Μούσαις λέγουσι παρὰ Διὸς τὴν γραμμάτων εὕρεσιν δοθῆναι. — Ὁ οἶνος εἰς τὴν ἰατρικὴν χρησιμώτατος· πολλάκις γὰρ τοῖς ποτοῖς φαρμάκοις κεράννυται. — Νεὼς ἐν Ῥώμῃ δείκνυται, οὐ πρόσω τῆς ἀγορᾶς, ἐν ᾧ αἱ εἰκόνες τῶν Τρωϊκῶν θεῶν κεῖνται.